# Ευχή κατά των ναρκωτικών

Δέσποτα Φιλάνθρωπε Κύριε, ὁ πάνσοφος δημιουργὸς ἡμῶν, ὁ πᾶσαν τὴν ὁρατὴν κτίσιν ὑποτάξας καὶ δοὺς τῷ ἀνθρώπῳ εἰς διηνεκῆ χρῆσιν καὶ τροφὴν πρὸς συντήρησιν εἰπὼν «ἰδού, δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς, καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν», ἡμεῖς δέ, φθόνῳ τοῦ διαβόλου, τῆς δοθείσης ἐλευθερίας καὶ ἐξουσίας ταύτης κατάχρησιν ποιούμενοι ἐφεύρομεν ποικίλους τρόπους πρὸς καταστροφὴν τῆς ἰδίας ζωῆς ἡμῶν, ὡς τὴν χρῆσιν τῶν ναρκωτικῶν οὐσιῶν, καὶ περιπίπτομεν ἀπὸ σφάλματος εἰς σφάλμα, στερούμενοι τῆς ἐλευθερίας δι᾽ ἧς ἡμᾶς Χριστὸς ἠλευθέρωσε καὶ γιγνόμεθα δοῦλοι καὶ ὑπεξούσιοι τῆς ἀναγκαστικῆς ἐξαρτήσεως ἐξ αὐτῶν.

Ὅθεν, δεόμεθα καὶ παρακαλοῦμεν καὶ τὸν δοῦλόν σου .... εἴτε ἐκ πειρασμοῦ, εἴτε ἐξ ἀβουλίας, εἴτε ἐξ ἄλλου αἰτίου εὑρισκόμενον ὑπὸ τὸν ἐπαχθῆ ζυγὸν τοῦτον τῆς ναρκομανίας, ἐνίσχυσον καὶ δὸς τὴν ἀποφασιστικὴν θέλησιν καὶ ταχεῖαν τὴν ἀπεξάρτησιν καὶ τὴν ἐλευθερίαν, ὅπως ἐφεξῆς χαίρων καὶ σωφρονῶν πορεύηται τὴν ζωὴν αὐτοῦ

ΑΘΘΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐν τηρήσει τῶν ζωοποιῶν ἐντολῶν σου ἐν ἀποφάσει ἀκλονήτῳ καὶ ἁγιασμῷ ἀναφαιρέτῳ, ἀκατακρίτως μετέχων τῶν ἁγίων σου καὶ ζωοποιῶν Μυστηρίων. Ὅτι σοῦ ἐστιν ἡ ἀήττητος δύναμις καὶ σοὶ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δέσποτα Φιλάνθρωπε Κύριε, ὁ πάνσοφος δημιουργὸς ἡμῶν, ὁ πᾶσαν τὴν ὁρατὴν κτίσιν ὑποτάξας καὶ δοὺς τῷ ἀνθρώπῳ εἰς διηνεκῆ χρῆσιν καὶ τροφὴν πρὸς συντήρησιν εἰπὼν «ἰδού, δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς, καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν», ἡμεῖς δε, φθόνῳ τοῦ διαβόλου, τῆς δοθείσης ἐλευθερίας καὶ ἐξουσίας ταύτης κατάχρησιν ποιούμενοι ἐφεύρομεν ποικίλους τρόπους πρὸς καταστροφὴν τῆς ἰδίας ζωῆς ἡμῶν, ὡς τὴν χρῆσιν τῶν ναρκωτικῶν οὐσιῶν, καὶ περιπίπτομεν ἀπὸ σφάλματος εἰς σφάλμα, στερούμενοι τῆς ἐλευθερίας δι᾽ ἧς ἡμᾶς Χριστὸς ἠλευθέρωσε καὶ γιγνόμεθα δοῦλοι καὶ ὑπεξούσιοι τῆς ἀναγκαστικῆς ἐξαρτήσεως ἐξ αὐτῶν.

Ὅθεν, δεόμεθα καὶ παρακαλοῦμεν καὶ τὸν δοῦλόν σου .... εἴτε ἐκ πειρασμοῦ, εἴτε ἐξ ἀβουλίας, εἴτε ἐξ ἄλλου αἰτίου εὑρισκόμενον ὑπὸ τὸν ἐπαχθῆ ζυγὸν τοῦτον τῆς ναρκομανίας, ἐνίσχυσον καὶ δὸς τὴν ἀποφασιστικὴν θέλησιν καὶ ταχεῖαν τὴν ἀπεξάρτησιν καὶ τὴν ἐλευθερίαν,

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὅπως ἐφεξῆς χαίρων καὶ σωφρονῶν πορεύηται τὴν ζωὴν αὐτοῦ ἐν τηρήσει τῶν ζωοποιῶν ἐντολῶν σου ἐν ἀποφάσει ἀκλονήτῳ καὶ ἁγιασμῷ ἀναφαιρέτῳ, ἀκατακρίτως μετέχων τῶν ἁγίων σου καὶ ζωοποιῶν Μυστηρίων. Ὅτι σοῦ ἐστιν ἡ ἀήττητος δύναμις καὶ σοὶ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ